# TEZAUR LITURGIC

## 9 MAI

# SLUJBA SF.IERARH NICOLAE, ARHIEPISCOPUL MIRELOR LICHIEI

## ADUCEREA MOAŞTELOR DE LA MIRA LICHIEI LA BARI

ATENA,2015


ΑΠΟΣΤΟΛΙΚΗ ΔΙΑΚΟΝΙΑ
ΤΗΣ ΕΚΚΛΗΣΙΑΣ ΤΗΣ ΕΛΛΑΔΟΣ

# 09 ΜΑΪΟΣ
# ΝΙΚΟΛΑΟΥ ΜΥΡΩΝ ΛΥΚΙΑΣ
# ΜΕΤΑΚΟΜΙΔΗ ΛΕΙΨΑΝΩΝ
# ΑΚΟΛΟΥΘΙΑ

## ΜΙΚΡΟΣ ΕΣΠΕΡΙΝΟΣ

Ἱστῶμεν στίχους δ’ καὶ ψάλλομεν Στιχηρὰ Προσόμοια. Ἦχος δ'. Ὡς γενναῖον ἐν Μάρτυσι.

Μύρῳ θείῳ σε ἔχρισε, θεία χάρις τοῦ Πνεύματος, Μύρων προεδρεύσαντα καὶ μυρίσαντα, ταῖς ἀρεταῖς ἱερώτατε, τοῦ κόσμου τὰ πέρατα, ἡδυπνόοις σου εὐχαῖς, τὰ δυσώδη διώκοντα, πάθη πάντοτε· διὰ τοῦτό σε πίστει εὐφημοῦμεν, καὶ τὴν μνήμην σου τελοῦμεν, τὴν παναγίαν Νικόλαε. *(Δίς)*

Ὡς λαμπτῆρά σε ἄδυτον, ὡς φωστῆρα παγκόσμιον, ἐν τῷ στερεώματι ἀναλάμψαντα, τῆς Ἐκκλησίας Νικόλαε, καὶ κόσμον φωτίζοντα· καὶ κινδύνων χαλεπῶν, τὴν ἀχλὺν ἀπελαύνοντα, καὶ ἐξαίροντα, ἀθεΐας χειμῶνα καὶ γαλήνην, ἐργαζόμενον βαθεῖαν, χρεωστικῶς μακαρίζομεν.

Καὶ παρὼν καὶ φαινόμενος, ἐν ὀνείροις Νικόλαε, τοὺς ἀδίκως μέλλοντας θνήσκειν ἔσωσας, ὡς συμπαθὴς καὶ φιλάγαθος, ὡς ῥύστης θερμότατος, ὡς προστάτης ἀληθής, τῶν πιστῶς ἐξαιτούντων σου, τὴν ἀντίληψιν· ἱερώτατε Πάτερ τῶν Ἀγγέλων, συμπολῖτα Ἀποστόλων, καὶ Προφητῶν ἰσοστάσιε.

*Δόξα. Ἦχος πλ. β΄.*

Κληρονόμε Θεοῦ, συγκληρόνομε Χριστοῦ, λειτουργὲ Κυρίου, Ἅγιε Νικόλαε. Κατὰ ὄνομά σου οὕτω καὶ ἡ πολιτεία σου, συνεξέλαμψε γὰρ τῇ πολιᾷ ἡ σύνεσις, ἐμαρτύρει τὸ φαιδρὸν τοῦ προσώπου σου, τῆς ψυχῆς τὸ ἀνεξίκακον, ἐβεβαίου τὴν πραότητα, τοῦ λόγου τὸ ἥσυχον· ἡ ζωή σου ἔνδοξος, καὶ ἡ κοίμησις μετὰ Ἁγία. Πρέσβευε ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

*Καὶ νῦν. Τῆς Ἑορτῆς.*

*Εἰς τὸν Στίχον. Ἦχος πλ. β΄. Τριήμερος ἀνέστης.*

Νικόλαε μακάριε, προσπίπτοντά με οἴκτειρον, δέομαί σου, καὶ τὰ ὄμματα σοφέ, φώτισον τῆς ψυχῆς μου, ἵνα καθαρῶς βλέψω, τὸν φωτοδότην καὶ οἰκτίρμονα.

Στ.: *Τίμιος ἐναντίον Κυρίου, ὁ θάνατος τοῦ ὁσίου Αὐτοῦ.*

Ἐχθρῶν ἐπιζητούντων με, κακοποιῆσαι Ἅγιε, ἐξελοῦ με, παῤῥησίαν πρὸς Θεόν, ὡς ἔχων Ἱεράρχα, Νικόλαε παμμάκαρ, καὶ ἐξ ἀνδρῶν αἱμάτων σῶσόν με.

Στ.: *Οἱ ἱερεῖς Σου Κύριε ἐνδύσονται δικαιοσύνην καὶ οἱ ὅσιοί Σου ἀγαλλιάσονται.*

Λιμένα σε ἀχείμαστον, καὶ τεῖχος ἀπροσμάχητον, Ἱεράρχα, σὲ κεκτήμεθα πιστοί, καὶ θύραν μετανοίας, καὶ πύργον ἀσφαλείας, καὶ ὁδηγὸν ψυχῶν καὶ πρόμαχον.

*Δόξα. Καὶ νῦν. Θεοτοκίον.*

Ζηλώσας ὁ ἀντίδικος, τὴν ποίμνην Σου πανάχραντε, καθ’ ἑκάστην ἐκζητεῖ ὁ πονηρός, κατάβρωμα ποιῆσαι· ἀλλὰ Σὺ Θεοτόκε, τῆς τούτου βλαβῆς ἐξελοῦ ἡμᾶς.

*Νῦν ἀπολύεις. Τρισάγιον.*

*Ἀπολυτίκιον. Ἦχος δ’.*

Κανόνα πίστεως καὶ εἰκόνα πραότητος, ἐγκρατείας Διδάσκαλον, ἀνέδειξέ σε τῇ ποίμνῃ σου, ἡ τῶν πραγμάτων ἀλήθεια· διὰ τοῦτο ἐκτήσω τῇ ταπεινώσει τὰ ὑψηλά, τῇ πτωχείᾳ τὰ πλούσια. Πάτερ Ἱεράρχα Νικόλαε, πρέσβευε Χριστῷ τῷ Θεῷ, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

*Δόξα. Ἦχος δ΄. Ἀσκητικῶς προγυμνασθείς.*

Καθάπερ ἥλιος ἐφάνη τῇ κτίσει, ἡ σεβασμία ἱεράρχα ἡμέρα, τῶν ἱερῶν λειψάνων σου τῆς ἀνακομιδῆς, σκότος ἐκδιώκουσα, ταῖς ἐνθέοις ἀκτῖσι, πειρασμῶν καὶ θλίψεων, ἐκ τῶν σὲ εὐφημούντων, καὶ ἐκβοώντων πίστει σοι θερμῇ· χαίροις προστάτα τοῦ κόσμουΝικόλαε.

*Καὶ νῦν. Τῆς Ἑορτῆς.Ἀπολυτίκιον.*

## ΜΕΓΑΣ ΕΣΠΕΡΙΝΟΣ

Εὐλογήσαντος τοῦ ἱερέως, ὁ Προοιμιακός, καὶ τό· *Μακάριος ἀνήρ.* Εἰς δὲ τό· *Κύριε ἐκέκραξα,* ἱστῶμεν στίχους στ’ καὶ ψάλλομεν Στιχηρὰ Προσόμοια γ’ τῆς Ἑορτῆς καὶ γ’ τοῦ Ἁγίου. Ἦχος β΄. Ὅτε ἐκ τοῦ ξύλου.

Ὅτε, ἐπινεύσει θεϊκῇ, ἡ σεπτὴ λειψάνων σου θήκη, μάκαρ Νικόλαε, ὥσπερ ὄλβος ἄσυλος, ἐκ γῆς ἀνέτειλε· τότε κρήνην ἀνέβλυσας, μύρων ἀκενώτων, μύρων μυριπνόων τε, μύρων τερπόντων ψυχάς· ὧνπερ, τῆς ὀσμῆς ὀσφρανθεῖσα, ἡ τερπνὴ Χριστοῦ Ἐκκλησία, σοῦ πανηγυρίζει τὴν μετάθεσιν.

Οτε, τῶν Μυρέων ἐκ τῆς γῆς, εἰς τὴν πόλιν *Πάρου* μετέβη, μάκαρ Νικόλαε, σῶμά σου τὸ ἅγιον· τότε συνέῤῥευσεν, ὁ λαὸς ἅπας ὕμνοις σε, προπέμποντες θείοις, καὶ σεπτῶς ἀπέθεντο τῷ τοῦ Προδρόμου ναῷ· ἔνθα ἀπετέλεσας πλεῖστα, θαύματα τοῖς κάμνουσι πᾶσι, καὶ μετ’ εὐλαβείας σοι προστρέχουσιν.

Ὅτε, μετετέθη τὸ σεπτόν, καὶ μεμυρισμένον σου σῶμα, μάκαρ Νικόλαε, εἰς ναὸν τὸν αγιον, ὃν ᾠκοδόμησε, πόλις *Πάρου* εἰς δόξαν σου· τότε ἰαμάτων, καθ’ ἑκάστην ἔβλυζες ῥεῖθρα ἀκένωτα, πάθη ἀσθενῶν διαφόρων, τῶν προσκαλουμένων σε πίστει, καὶ σοὶ προστρεχόντων κατακλύζοντα.

*Δόξα. Ἦχος πλ. β΄.*

Ἱεραρχῶν τὴν καλλονήν, καὶ τῶν Πατέρων κλέος, τὴν βρύσιν τῶν θαυμάτων, καὶ τῶν πιστῶν ἀντιλήπτορα μέγιστον, συνελθόντες ὦ φιλέορτοι, ᾀσματικοῖς ἐγκωμίοις ὑμνήσωμεν λέγοντες· χαίροις, ὁ τῶν Μυρέων φρουρός, καὶ πρόεδρος σεπτός, καὶ στύλος ἀπερίτρεπτος· χαίροις, φωστὴρ παμφαέστατε, ὁ τὰ τοῦ κόσμου πέρατα διαλάμπων τοῖς θαύμασι· χαίροις, τῶν θλιβομένων ἡ θεία χαρμοσύνη, καὶ

ἀδικουμένων θερμότατος προστάτης. Καὶ νῦν παμμάκαρ Νικόλαε, μὴ παύσῃ πρεσβεύων Χριστῷ τῷ Θεῷ, ὑπὲρ τῶν πίστει καὶ πόθῳ τιμώντων ἀεί, τὴν χαρμόσυνον καὶ πανέορτον μνήμην σου.

*Καὶ νῦν...Τῆς Ἑορτῆς*

*Εἴσοδος. Φῶς ἱλαρόν. Προκείμενον τῆς ἡμέρας. Ἀναγνώσματα.*

*Παροιμιῶν τὸ Ἀνάγνωσμα. (Κεφ. ι΄.7)*

Μνήμη δικαίου μετ’ ἐγκωμίων, καὶ εὐλογία Κυρίου ἐπὶ κεφαλὴν αὐτοῦ. Μακάριος ἄνθρωπος, ὃς εὗρε σοφίαν, καὶ θνητὸς ὃς οἶδε φρόνησιν. Κρεῖσσον γὰρ αὐτὴν ἐμπορεύεσθαι, ἢ χρυσίου καὶ ἀργυρίου θησαυρούς. Τιμιωτέρα δὲ ἐστι λίθων πολυτελῶν· πᾶν δὲ τίμιον οὐκ ἄξιον αὐτῆς ἐστιν. Ἐκ γὰρ τοῦ στόματος αὐτῆς ἐκπορεύεται δικαιοσύνη, νόμον δὲ καὶ ἔλεον ἐπὶ γλώσσης φορεῖ. Τοιγαροῦν ἀκούσατέ μου, ὦ τέκνα· σεμνὰ γὰρ ἐρῶ, καὶ μακάριος ἄνθρωπος, ὃς τὰς ἐμὰς ὁδοὺς φυλάξει. Αἱ γὰρ ἔξοδοί μου, ἔξοδοι ζωῆς, καὶ ἑτοιμάζεται θέλησις παρὰ Κυρίου. Διὰ τοῦτο παρακαλῶ ὑμᾶς, καὶ προΐεμαι ἐμὴν φωνὴν υἱοῖς ἀνθρώπων. Ὅτι ἐγὼ ἡ σοφία κατεσκεύασα βουλήν, καὶ γνῶσιν καὶ ἔννοιαν ἐγὼ ἐπεκαλεσάμην. Ἐμὴ βουλὴ καὶ ἀσφάλεια, ἐμὴ φρόνησις, ἐμὴ δὲ ἰσχύς. Ἐγὼ τοὺς ἐμὲ φιλοῦντας ἀγαπῶ, οἱ δὲ ἐμὲ ζητοῦντες εὑρήσουσι χάριν. Νοήσατε τοίνυν ἄκακοι πανουργίαν, οἱ δὲ ἀπαίδευτοι ἔνθεσθε καρδίαν.

Εἰσακούσατέ μου καὶ πάλιν· σεμνὰ γὰρ ἐρῶ, καὶ ἀνοίγω ἀπὸ χειλέων ὀρθά. Ὅτι ἀλήθειαν μελετήσει ὁ λάρυγξ μου, ἐβδελυγμένα δὲ ἐναντίον ἐμοῦ χείλη ψευδῶ. Μετὰ δικαιοσύνης πάντα τὰ ῥήματα τοῦ στόματός μου, οὐδὲν ἐν αὐτοῖς σκολιόν, οὐδὲ στραγγαλιῶδες. Πάντα εὐθέα ἐστὶ τοῖς νοοῦσι, καὶ ὀρθὰ τοῖς εὑρίσκουσι γνῶσιν. Διδάσκω γὰρ ὑμῖν ἀληθῆ, ἵνα γένηται ἐν Κυρίῳ ἡ ἐλπὶς ὑμῶν, καὶ πλησθήσεσθε πνεύματος.

*Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.(Κεφ. ι'.32)*

Στόμα δικαίου ἀποστάζει σοφίαν, χείλη δὲ ἀνδρῶν ἐπίστανται χάριτας· Στόμα σοφῶν μελετᾷ σοφίαν, δικαιοσύνη δὲ ῥύεται αὐτοὺς ἐκ θανάτου. Τελευτήσαντος ἀνδρός δικαίου οὐκ ὄλλυται ἐλπίς· υἱὸς γὰρ δίκαιος γεννᾶται εἰς ζωήν, καὶ ἐν ἀγαθοῖς αὐτοῦ καρπὸν δικαιοσύνης τρυγήσει. Φῶς δικαίοις διαπαντός, καὶ παρὰ Κυρίου εὑρήσουσι χάριν καὶ δόξαν. Γλῶσσα σοφῶν καλὰ ἐπίσταται, καὶ ἐν καρδίᾳ αὐτῶν ἀναπαύσεται σοφία. Ἀγαπᾷ Κύριος ὁσίας καρδίας, δεκτοὶ δὲ αὐτῷ πάντες ἄμωμοι ἐν ὁδῷ. Σοφία Κυρίου φωτιεῖ πρόσωπον συνετοῦ· φθάνει γὰρ τοὺς ἐπιθυμοῦντας αὐτήν, πρὸ τοῦ γνωσθῆναι, καὶ εὐχερῶς θεωρεῖται ὑπὸ τῶν ἀγαπώντων αὐτήν. Ὁ ὀρθρίσας πρὸς αὐτὴν οὐ κοπιάσει, καὶ ὁ ἀγρυπνήσας δι' αὐτήν, ταχέως ἀμέριμνος ἔσται. Ὅτι τοὺς ἀξίους αὐτῆς αὐτὴ περιέρχεται ζητοῦσα, καὶ ἐν ταῖς τρίβοις φαντάζεται αὐτοῖς εὐμενῶς. Σοφίας οὐ κατισχύσει ποτὲ κακία.

Διὰ ταῦτα καὶ ἐραστὴς ἐγενόμην τοῦ κάλλους αὐτῆς καὶ ἐφίλησα ταύτην, καὶ ἐξεζήτησα ἐκ νεότητός μου, καὶ ἐζήτησα νύμφην ἀγαγέσθαι ἐμαυτῷ. Ὅτι ὁ πάντων Δεσπότης ἠγάπησεν αὐτήν. Μύστης γὰρ ἐστι τῆς τοῦ Θεοῦ ἐπιστήμης, καὶ αἱρέτις τῶν ἔργων αὐτοῦ. Οἱ πόνοι αὐτῆς εἰσὶν ἀρεταί· σωφροσύνην δὲ καὶ φρόνησιν αὕτη διδάσκει, δικαιοσύνην καὶ ἀνδρείαν, ὧν χρησιμώτερον οὐδέν ἐστιν ἐν βίῳ ἀνθρώποις. Εἰ καὶ πολυπειρίαν ποθεῖ τις, οἶδε τὰ ἀρχαῖα καὶ τὰ μέλλοντα εἰκάζειν, ἐπίσταται στροφὰς λόγων, καὶ λύσεις αἰνιγμάτων, σημεῖα καὶ τέρατα προγινώσκει, καὶ ἐκβάσεις καιρῶν καὶ χρόνων, καὶ πᾶσι σύμβουλός ἐστιν ἀγαθή. Ὅτι ἀθανασία ἐστὶν ἐν αὐτῇ, καὶ εὔκλεια ἐν κοινωνίᾳ λόγῳ αὐτῆς. Διὰ τοῦτο ἐνέτυχον τῷ Κυρίῳ, καὶ ἐδεήθην αὐτοῦ, καὶ εἶπον ἐξ ὅλης μου τῆς καρδίας. Θεὲ Πατέρων, καὶ Κύριε τοῦ ἐλέους, ὁ ποιήσας τὰ πάντα ἐν λόγῳ σου, καὶ τῇ σοφίᾳ σου κατασκευάσας τὸν ἄνθρωπον, ἵνα δεσπόζῃ τῶν ὑπὸ σοῦ γενομένων κτισμάτων, καὶ διέπῃ τὸν κόσμον ἐν ὁσιότητι καὶ δικαιοσύνῃ, δός μοι τὴν τῶν σῶν θρόνων πάρεδρον σοφίαν, καὶ μὴ με ἀποδοκιμάσῃς ἐκ παίδων σου, ὅτι ἐγὼ δοῦλος σός, καὶ υἱὸς τῆς παιδίσκης σου. Ἐξαπόστειλον αὐτὴν ἐξ ἁγίου κατοικητηρίου σου καὶ ἀπὸ θρόνου δόξης σου, ἵνα συμπαροῦσά μοι διδάξῃ με, τὶ εὐάρεστόν ἐστι παρὰ σοί. Καὶ ὁδηγήσῃ με ἐν γνώσει, καὶ φυλάξῃ με ἐν τῇ δόξῃ αὐτῆς. Λογισμοὶ γὰρ θνητῶν πάντες δειλοὶ καὶ ἐπισφαλεῖς αἱ ἐπίνοιαι αὐτῶν.

*Σοφίας Σολομῶντος τὸ ἀνάγνωσμα. (Κεφ. ζ'.7)*

Δίκαιος, ἐὰν φθάσῃ τελευτῆσαι, ἐν ἀναπαύσει ἔσται. Γῆρας γὰρ τίμιον οὐ τὸ πολυχρόνιον, οὐδὲ ἀριθμῷ ἐτῶν μεμέτρηται. Πολιὰ δέ ἐστι φρόνησις ἀνθρώποις, καὶ ἡλικία γήρως βίος ἀκηλίδωτος. Εὐάρεστος Θεῷ γενόμενος, ἠγαπήθη· καὶ ζῶν μεταξὺ ἁμαρτωλῶν, μετετέθη. Ἡρπάγη, μὴ κακία ἀλλάξῃ σύνεσιν αὐτοῦ, ἢ δόλος ἀπατήσῃ ψυχὴν αὐτοῦ· βασκανία γὰρ φαυλότητος ἀμαυροῖ τὰ καλά, καὶ ῥεμβασμὸς ἐπιθυμίας μεταλλεύει νοῦν ἄκακον. Τελειωθεὶς ἐν ὀλίγῳ, ἐπλήρωσε χρόνους μακρούς· ἀρεστὴ γὰρ ἦν Κυρίῳ ἡ ψυχὴ αὐτοῦ· διὰ τοῦτο ἔσπευσεν ἐκ μέσου πονηρίας. Οἱ δὲ λαοὶ ἰδόντες καὶ μὴ νοήσαντες, μηδὲ θέντες ἐπὶ διανοίᾳ τὸ τοιοῦτον, ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

*Λιτή. Ἦχος α΄.*

Τὸ ἀκένωτον μύρον, Χριστὸς ὁ Θεός, τῇ σῇ ψυχῇ ἐνοικήσας Ἱεράρχα Νικόλαε, μύρῳ νοητῷ τῆς ἀρχιερωσύνης ζῶντα ἐν τοῖς Μύροις σε ἔχρισεν, ὥσπερ ἐλαίῳ ἀγαλλιάσεως. Μετὰ θάνατον δὲ πάλιν, πηγὴν μυροχεύμονα τὸ ζωομύριστον σῶμά σου τῷ κόσμῳ ἀνέδειξε, μύρων αἰσθητῶν ποταμοὺς προχεόμενον· ὧν καὶ ἡμεῖς ὀσφρανθέντες, τὴν ἀνακομιδὴ τῶν λειψάνων σου ἑορτάζομεν σήμερον. Καὶ εἰς ὀσμὴν μύρων σου ἐδράμομεν, ὅτι ὀσμή σου ἡδεῖα, καὶ τὰ ἀρώματά σου ὑπὲρ πάντα τὰ τοῦ κόσμου ἀρώματα, θερμῶς σε ἱκετεύοντρς, παμμακάριστε

Πάτερ, πρεσβεύειν ἐκτενῶς τῇ Τριάδι, ἀρεταῖς ἡδυπνόοις μυρισθῆναι, καὶ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

*Ἦχος β΄.*

Οὐκ ἔφερες μέχρι τέλους, ἄδοξος κατακεῖσθαι ἐν τῇ ἐρήμῳ γῇ τῶν Μυρέων, Ἱεράρχα Νικόλαε· ὅθεν, διὰ τῆς ἐπιφανείας τοῦ θαυματοβρύτου σου λειψάνου, ἐκ γῆς λαγόνων μετακομισθέντος, ἔνδοξος ἐγένου καὶ θαυμαστός, ὥσπερ πρότερον ἐν τῇ Ἀσίᾳ, οὕτως ὕστερον ἐν τῇ Εὐρώπῃ πάσῃ. Μύρα πηγάζων ἑκάστοτε, καὶ θαύματα ἐνεργῶν τοῖς μετὰ πίστεως, προσιοῦσί σοι, καὶ πρεσβεύων ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

*Ἦχος γ΄.*

Πάλιν ἡμῖν ὁ τοῦ κόσμου προστάτης, τῶν δεομένων ὁ βοηθός, καὶ τῶν Χριστιανῶν ἁπάντων τὸ γλυκὺ καὶ πρᾶγμα καὶ ὄνομα, Νικόλαος ὁ Χριστοῦ Ἱεράρχης, ὥσπερ πρότερον ἐν τῇ καρδίᾳ τοῦ χειμῶνος, οὕτω σήμερον, ἐν τῇ καρδίᾳ τοῦ ἔαρος ἐπεδήμησε. Τὸ γὰρ ἱερώτατον αὐτοῦ καὶ πανσεβάσμιον σῶμα, ἐπιστασίᾳ φοβερᾷ, εἰς Ἰταλίαν μετακομίσας δι' εὐλαβῶν ἱερέων, ἑορτῆς ὑπόθεσιν τῇ Ἐκκλησίᾳ τοῦ Χριστοῦ συνεκρότησε. Πάντες πιστοί, φαιδρῶς ὑπαντήσωμεν τῷ καλῷ ποιμένι. Πρεσβεύει γὰρ ἀεὶ τῷ Κυρίῳ, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

*Ἦχος δ΄.*

Πάτερ Νικόλαε, τοῦ παναγίου Πνεύματος μυροθήκη ὑπάρχων, ὡς ἔαρ μυρίζεις εὐφρόσυνον, τῶν θείων ἀρωμάτων Χριστοῦ. Τῶν Ἀποστόλων γὰρ μιμητὴς γενόμενος, τὴν οἰκουμένην περιπολεύεις, διὰ

τῶν λόγων τῶν θαυμάτων σου· ὅθεν καὶ τοῖς πόῤῥω ὡς ἐγγὺς δι’ ὀνείρων ὀπτάνομενος, ἐκ θανάτου λυτροῦσαι, τοὺς ἀδίκῳ ψήφῳ θνήσκειν μέλλοντας, διασώζων παραδόξως ἐκ κινδύνων πολλῶν, τοὺς ἐπικαλουμένους σε· διὸ καὶ ἡμᾶς, τῶν ἐπεμβαινόντων δυσχερῶν ἐλευθέρωσον σαῖς πρεσβείαις, τοὺς ἀεὶ ἀνευφημοῦντάς σε.

*Δόξα. Ἦχος πλ. δ΄.*

Δεῦτε ἅπαντες πιστοί, τῷ τοῦ θείου Νικολάου λειψάνῳ προσπέσωμεν, καὶ νοερῶς αὐτὸ περιπτυξώμεθα, ἵνα καὶ τὴν ἐκεῖ ἐνοικοῦσαν θείαν χάριν ἐπισπασώμεθα· ἁγίων γὰρ οὐ τὰ λείψανα μόνον, ἀλλὰ καὶ αὐταὶ αἱ θῆκαι, πνευματικῆς εἰσι πεπληρωμέναι χάριτος. Λιμένες ἐν πειρασμοῖς ἀσφαλεῖς, πηγαὶ θαυμάτων διηνεκεῖς, καὶ θησαυροὶ εὐεργεσίας ἀνάλωτοι, πάντοτε κενούμενοι καὶ μηδέποτε μειούμενοι. Πρὸς αὐτὸν δὲ ὁλοψύχως βοήσωμεν· Μυροβλύτα Νικόλαε, πρέσβευε ἐκτενῶς τῷ Κυρίῳ, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

*Καὶ νῦν. Τῆς Ἑορτῆς.*

*Εἰς τὸν Στίχον. Ἦχος πλ. α'. Χαίροις ἀσκητικῶν*

Χαίροις ἡ ἱερὰ κεφαλή, τὸ καθαρὸν τῶν ἀρετῶν καταγώγιον, ὁ θεῖος τῆς θειοτάτης, ἱερωσύνης κανών, ὁ Ποιμὴν ὁ μέγας, ὁ φανότατος, πυρσὸς ὁ τῆς νίκης, ἐπιφερόμενος ὄνομα, ὁ δεομένοις, συμπαθῶς ἐπικλώμενος· ὁ καμπτόμενος, ἀσθενῶν ταῖς δεήσεσι· ῥύστης ὁ ἑτοιμότατος, φρουρὸς ὁ σωτήριος, πᾶσι τοῖς

πίστει τελοῦσι, τήν παναοίδιμον μνήμην σου. Χριστὸν καταπέμψαι, Παμμακάριστε δυσώπει, τὸ μέγα ἔλεος.

Στ.: *Τίμιος ἐναντίον Κυρίου, ὁ θάνατος τοῦ ὁσίου Αὐτοῦ.*

Ὅλος, χαροποιὸς καὶ τερπνός· ὅλος εὐώδης, ὅλος στίλβων ἐν χάριτι, ἐκ τάφου νῦν μετετέθης, ὥσπερ νυμφίος φαιδρός, ἐκ παστοῦ ὡραίου ἐξερχόμενος, παμμάκαρ Νικόλαε, διασώζων τὰ σήμαντρα, ἐν σοῖς λειψάνοις, ἁγιότητος ἅπαντα, τὸ ἡδύπνοον, τὴν τῶν μύρων ἀνάβλυσιν, μάλιστα δὲ τὰ θαύματα, ἃ πᾶσι τοῖς κάμνουσιν, ἀφθονωτάτως προχέεις, πάθη ποικίλα ἰώμενος· Χριστὸν ἐκδυσώπει, ταῖς ψυχαῖς ἡμῶν δοθῆναι, τὸ μέγα ἔλεος.

Στ.: *Οἱ ἱερεῖς Σου Κύριε ἐνδύσονται δικαιοσύνην καὶ οἱ ὅσιοί Σου ἀγαλλιάσονται.*

Χαίροις ὁ ζήλου θείου πλησθείς, ἀπαγωγῆς τε πονηρὰς λυτρωσάμενος, ἀδίκως μέλλοντας θνῄσκειν, ἐπιστασίᾳ φρικτῇ, καὶ ταῖς δι' ὀνείρων προσφοιτήσεσι. Πηγὴ ἡ πηγάζουσα, ἐν τοῖς Μύροις Νικόλαε, μύρα πλουσίως, καὶ ψυχὰς καταρδεύουσα, τὰ δυσώδη τε τῶν παθῶν ἀπελαύνουσα. Μάχαιρα τὰ ζιζάνια, τῆς πλάνης ἐκτέμνουσα. Πτύον λικμίζον Ἀρείου, τὰ ἀχυρώδη διδάγματα. Χριστὸν καταπέμψαι, ταῖς ψυχαῖς ἡμῶν δυσώπει, τὸ μέγα ἔλεος.

*Δόξα. Ἦχος δ΄.*

Ἡ τοῦ Ἁγίου Πνεύματος, ζωοπάροχος χάρις, τῇ σῇ ψυχῇ ἐνοικήσασα, Ἱεράρχα Νικόλαε, πολλὰ δι’ αὐτῆς καὶ πρὸς τὸ συνημμένον σῶμά σου, διεβίβασε τοῦ

θείου κάλλους αὐτῆς τὰ τεκμήρια, ὅλον σε ψυχήν τε καὶ σῶμα, ναὸν ἑαυτῆς κατασκευάσασα ἅγιον· διὸ καὶ μετὰ θάνατον, τῆς ψυχῆς σου χωρισθείσης ἀπὸ τοῦ σώματος, ἀχώριστος αὕτη τῶν ἀμφοτέρων διαμεμένηκε. Τὴν μὲν ψυχὴν ἐν οὐρανοῖς, μέτοχον τῆς μακαρίας δόξης ἐργασαμένη, τὸ δὲ σῶμα ἐν τάφῳ ἀδιάφθορον συντηρήσασα, καὶ κρήνην μύρων καὶ θαυμάτων ὑπερφυῶν, καθ’ ἑκάστην ἀποδεικνύουσα· ὢ δόξης ἀκραιφνοῦς, ἧσπερ ἠξίωσαι θεομακάριστε Πάτερ! ἀλλ’ αἴτησαι πρεσβείαις σου, καὶ ἡμῶν χαριτωθῆναι ψυχὰς καὶ τὰ σώματα.

*Καὶ νῦν. Τῆς Ἑορτῆς.*

*Νῦν ἀπολύεις. Τρισάγιον.*

*Ἀπολυτίκιον. Ἦχος δ’.*

Κανόνα πίστεως καὶ εἰκόνα πραότητος, ἐγκρατείας Διδάσκαλον, ἀνέδειξέ σε τῇ ποίμνῃ σου, ἡ τῶν πραγμάτων ἀλήθεια· διὰ τοῦτο ἐκτήσω τῇ ταπεινώσει τὰ ὑψηλά, τῇ πτωχείᾳ τὰ πλούσια. Πάτερ Ἱεράρχα Νικόλαε, πρέσβευε Χριστῷ τῷ Θεῷ, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

*Δόξα. Ἦχος δ΄. Ἀσκητικῶς προγυμνασθείς.*

Καθάπερ ἥλιος ἐφάνη τῇ κτίσει, ἡ σεβασμία ἱεράρχα ἡμέρα, τῶν ἱερῶν λειψάνων σου τῆς ἀνακομιδῆς, σκότος ἐκδιώκουσα, ταῖς ἐνθέοις ἀκτῖσι, πειρασμῶν καὶ θλίψεων, ἐκ τῶν σὲ εὐφημούντων, καὶ ἐκβοώντων πίστει σοι θερμῇ· χαίροις προστάτα τοῦ κόσμουΝικόλαε.

*Καὶ νῦν. Τῆς Ἑορτῆς.Ἀπολυτίκιον.*

# ΟΡΘΡΟΣ

*Μετὰ τὴν α’ Στιχολογίαν,*

*Κάθισμα. Ἦχος α’. Τὸν τάφον Σου Σωτήρ.*

Ὁ βίος σου λαμπρός, καὶ θεάρεστος ὤφθη, τὸ τέλος ἱερόν, καὶ μακάριον ὄντως, τῶν θείων δὲ λειψάνων σου, ἡ μετάθεσις γέγονε, μεγαλόδοξος, καὶ θαυμασία ἐν κόσμῳ, ἱερώτατε, καὶ ἁγιώτατε Πάτερ, ἣν πόθῳ ἑορτάζομεν,

*Δόξα.*

Ἀστράπτεις ἐν τῇ γῇ, τῶν θαυμάτων ἀκτῖσι, Νικόλαε σοφέ, καὶ κινεῖς πᾶσαν γλῶσσαν, εἰς δόξαν καὶ αἴνεσιν, τοῦ ἐν γῇ σε δοξάσαντος· Ὃν ἱκέτευε, πάσης ἀνάγκης ῥυσθῆναι, τοὺς τὴν μνήμην σου, πίστει καὶ πόθῳ τιμῶντας, Πατέρων ἐκλόγιον.

*Καὶ νῦν. Τῆς Ἑορτῆς.*

*Μετὰ τὴν β’ Στιχολογίαν,*

*Κάθισμα. Ἦχος δ΄. Ἐπεφάνης σήμερον.*

Ἡ σεπτὴ μετάθεσις, τῶν ἱερῶν σου λειψάνων, ἑορτῆς ὑπόθεσις, τῇ Ἐκκλησίᾳ τοῦ Χριστοῦ, γέγονε μάκαρ Νικόλαε, ἣν συνέλθοντες, τιμῶμεν ἐν ᾄσμασι.

*Δόξα.*

Τῶν πιστῶν προΐστασαι, σκέπων φρουρῶν τούτους μάκαρ, καὶ ἐκ πάσης θλίψεως, ἀπολυτρούμενος σαφῶς, Ἱεραρχῶν ὡραιότατον, κλέος καὶ δόξα, Νικόλαε Ὅσιε.

*Καὶ νῦν. Τῆς Ἑορτῆς.*

*Μετὰ τὸν Πολυέλεον,*
*Κάθισμα. Ἦχος δ΄. Ταχὺ προκατάλαβε.*

Τοῖς μύροις λειψάνων σου τοῖς μυριπνόοις σοφέ, μυρίζων Νικόλαε τοὺς εὐφημοῦντας ἡμᾶς, τῶν μύρων σου Ἅγιε, κρήνην μυροβλυτοῦσαν, καὶ ναοὺς σεπτοὺς δεῖξον, ὅλους μεμυρισμένους, ἀρετῶν θείῳ μύρῳ, Χριστὸν φέροντας ἔνδον, μύρον ἀκένωτον.

*Δόξα. Καὶ νῦν. Τῆς Ἑορτῆς.*

Εἶτα, οἱ Ἀναβαθμοί· τὸ α’ Ἀντίφωνον τοῦ δ’ ἤχου.

Προκείμενον: *Τίμιος ἐναντίον Κυρίου, ὁ θάνατος τοῦ ὁσίου Αὐτοῦ.*

Στ.: *Οἱ ἱερεῖς Σου Κύριε ἐνδύσονται δικαιοσύνην καὶ οἱ ὅσιοί Σου ἀγαλλιάσονται.*

Εὐαγγέλιον, Ἱεραρχικόν, κατὰ Ἰωάννην: *Εἶπεν ὁ Κύριος πρὸς τοὺς ἐληλυθότας πρὸς αὐτὸν Ἰουδαίους· Ἀμήν, ἀμήν, λέγω ὑμῖν· ὁ μὴ εἰσερχόμενος...*

Ὁ Ν’ ψαλμός.

Δόξα: *Ταῖς τοῦ Ἱεράρχου...*

Καὶ νῦν: *Ταῖς τῆς Θεοτόκου...*

Ἰδιόμελον. Ἦχος πλ. β΄. Στ.: *Ἐλέησόν με ὁ Θεός...*

Σήμερον ἔαρ διπλοῦν τῷ κόσμῳ ἐπέλαμψε. Τῷ γὰρ αἰσθητῷ ἔαρι, ὡς ἔαρ ἄλλο νοητὸν συνανέτειλεν, ἡ θαυμαστὴ καὶ παράδοξος μετάθεσις τῶν λειψάνων τοῦ Ἱεράρχου. Δεῦτε οὖν φιλέορτοι, τὰ τῶν ᾀσμάτων ἄνθη δρεψάμενοι, ταῦτα καταῤῥοδίσωμεν λέγοντες· χαίροις, ὁ τῆς ἕω ἀστήρ, καὶ τῆς δύσεως λαμπτήρ, καὶ

τῆς οἰκουμένης φωστὴρ ἀειλαμπέστατος· μὴ ἐλλείπῃς πρεσβεύειν ὑπὲρ ἡμῶν, Ἅγιε Νικόλαε.

Εἶτα, οἱ Κανόνες· τῆς Ἑορτῆς, καὶ τοῦ Ἁγίου οὗ ἡ ἀκροστιχίς:*Τῶν λειψάνων σου τὴν ἀνεύρεσιν στέφω.*

*ᾨδὴ α'. Ἦχος δ'. Ἀνοίξω τὸ στόμα μου.*

Τὸν ῥύπον ἀπόσμηξον, τῆς ἐμπαθοῦς διανοίας μου, καὶ λόγον μοι ἔμπνευσον, μάκαρ Νικόλαε, τῇ δοθείσῃ σοι, χάριτι ἐκ Κυρίου, ὅπως τῶν λειψάνων σου, μέλψω τὴν εὕρεσιν.

Ὡς ἥλιος μέγιστος, ἐξ οὐρανοῦ ἄκρου ὥρμησας, ἑώας Νικόλαε, καὶ δύσιν ἔφθασας, μετὰ θάνατον, τοῖς θαύμασι φωτίζων, πᾶσαν τὴν περίγειον, λῆξιν πανεύφημε.

Νίκης ὡς ἐπώνυμος, πάντα τὰ πάθη νενίκηκας· διὸ μύρῳ κέχρισαι, ὡς βασιλεὺς τῶν παθῶν, παμμακάριστε· ὅθεν κἀμὲ τὰ πάθη, νικᾶν ἐνδυνάμωσον, θείαις πρεσβείαις σου.

*Θεοτοκίον.*

Λόγου τὴν γεννήτριαν, καὶ Θεοτόκον κηρύττομεν, Θεὸν γὰρ ἐγέννησας, κατὰ ἀλήθειαν, γνωριζόμενον, μιᾷ ἐν ὑποστάσει, καὶ δύο ἐν φύσεσι, πάναγνε Δέσποινα.

*ᾨδὴ γ'. Τοὺς Σοὺς ὑμνολόγους.*

Ἐπέστη Χριστοῦ τῇ Ἐκκλησίᾳ, ἡμέρα ἑόρτιος σαφῶς, ἡ τῶν σεπτῶν λειψάνων σου, μετάθεσις

Νικόλαε· διὸ πιστῶν τὸ πλήρωμα, σὲ συνελθόντες γεραίρομεν.

Ἰδού σοι καὶ δέυτερον ἔφάνη, λαὲ τοῦ Κυρίου ὁ θερμός, προστάτης σου Νικόλαος, εὐωδιάζων μύροις σε, οἱ παραδείσου εὔπνοιαν, ποθοῦντες δεῦτε ὀσφράνθητε.

Ψαλμοῖς τε καὶ ὕμνοις σου γεραίρει, λειψάνων τὴν ἀνακομιδήν, Νικόλαε μακάε, ἑώα καὶ ἑσπέριος, τὴν μὲν γὰρ ζῶν ἐδόξασας, τὴν δὲ θανὼν εὐηργέτησας.

*Θεοτοκίον.*

Ἀπείρανδρε Κόρη Παναγία, Θεὸς μὲν τὸ βρέφος Σού ἐστι, Σὺ δὲ παρθένος ἔμεινας, πάλιν καὶ μετὰ γέννησιν, τί μεῖζον τούτου ἕτερον, ἡ κτίσις πᾶσα τεθέαται.

*Κάθισμα. Ἦχος πλ. δ΄. Τὴν Σοφίαν καὶ Λόγον.*

Τῶν λειψάνων σου θήκη ἡ ἱερά, ἰατρεῖον ἐδείχθη πνευματικόν, ὕδωρ τὸ νεκρέγερτον, ἀμβροσία τοῦ νέκταρος, μέλι τὸ ἐκ πέτρας, ῥυὲν τὸ οὐράνιον, μάννα ἡ κολυμβήθρα, τὰ μύρα προχέουσα, τοῦ Σιλωὰμ ἡ κρήνη, τῆς καρύας ὁ κῆπος, τὸ φράρ ζῶντος ὕδατος ἐκ Λιβάνου προῤῥέοντος· διὰ τοῦτο βοῶμέν σοι· χάρισαι ἡμῖν τοῦ Χριστοῦ, Ἱεράρχα τούτων τὰς πιότητας, τοῖς εὐφημοῦσιν λειψάνων τῶν σῶν τὴν μετάθεσιν.

*Δόξα.*

Ποταμὸν ἰαμάτων ὑπερχειλῆ, καὶ πηγήν σε θαυμάτων ἀνελλιπῆ, ἔδειξε Νικόλαε, τοῦ ἐλέους ἡ

ἄβυσσος· οἱ γὰρ βαρείαις νόσοις, πικρῶς πιεζόμενοι, καὶ συμφοραῖς τοῦ βίου, δεινῶς ἐταζόμενοι, πάσης ἀθυμίας, ἀκεσώδυνον ὄντως, εὑρίσκουσι φάρμακον, τὴν θερμήν σου ἀντίληψιν· διὰ τοῦτο βοῶμέν σοι· Πρέσβευε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ, τὴν ἁγίαν μνήμην σου.

*Καὶ νῦν. Τῆς Ἑορτῆς.*

*ᾨδὴ δ'. Τὴν ἀνεξιχνίαστον.*

Νόμοι καταλύονται οἱ φυσικοί, ἐπὶ σοὶ παμμάκαρ Νικόλαε, τὸ σὸν γὰρ σῶμα, κρεῖττον φαίνεται φθορᾶς, θαύματα ἐργαζόμενον, καὶ ὀσμὴν ἐκπέμπον οὐράνιον.

Ὡς φιλοστοργότατος πάντων Πατήρ, τῶν πιστῶν Νικόλαε γέγονας, οὓς γὰρ ἠλέεις, ἐν τῷ βίῳ περιών, τούτους καὶ μετὰ θάνατον, εὖ ποιῶν οὐ παύῃ τοῖς θαύμασι.

Νέα ὥσπερ ἄλλα ὀστᾶ Ἰωσήφ, ἱερεῖς καὶ κλῆρος σὸν λείψανον, ἐκ τῆς Λυκίας, μετεκόμισαν σεπτῶς, εἰς Ἰταλίαν ἄπειρα, θαύματα αὐτοῖς ἐργαζόμενον.

*Θεοτοκίον.*

Σύ μου ἀποκάθαρον ῥύπον ψυχῆς, ὕλην τῶν παθῶν μου κατάφλεξον, ἄνθρακος θείου, ὡς πυράγρα μυστική· ἵνα νοΐ ἀΰλῳ σε, ἀνυμνολογῶ τὴν πανύμνητον.

*ᾨδὴ ε΄. Ἐξέστη τὰ σύμπαντα.*

Ὁ μέγιστος πρόμαχος, Χριστιανῶν Νικόλαος, πάντας συγκαλεῖ τοὺς φιλεόρτους, πανηγυρίσαι τὴν τῶν λειψάνων αὐτοῦ, ἔνδοξον καὶ θείαν ὑπαντήν, ἥνπερ ὁ χριστώνυμος, λαὸς *Πάρου* ἐκρότησεν.

Ὑψόθεν ἐπίβλεψον, τοὺς δούλους σου Νικόλαε, ἡμᾶς τοὺς ἐκ πόθου εὐφημοῦντας, θείων λειψάνων σου τὴν μετάθεσιν, καὶ τὸν τῶν πταισμάτων ἱλασμόν, αἴτησαι δεόμεθα, ταῖς θερμαῖς σου δεήσεσι.

Τῶν μύρων τὰ ῥεύματα, ὡς ἐξ Ἐδὲμ πηγάζοντα, τοῦ θαυματοβρύτου σου λειψάνου, ἅπαν ποτίζει τῆς γῆς τὸ πρόσωπον, καὶ εὐωδιάζει τὰς ψυχάς, τῶν πιστῶς τιμώντων σε, Ἱεράρχα Νικόλαε.

*Θεοτοκίον.*

Ἡ σύλληψις ἄσπορος, ἡ γέννησις ἀλόχευτος, ἡ κυοφορία ἀνωτέρα, κόπου καὶ βάρους γέγονε πάναγνε, ὢ τῶν τεραστίων, τῶν καινῶν! ποῖος νοῦς Ἀγγέλων τε, καὶ βροτῶν οὐκ ἐξίσταται;

*ᾨδὴ στ΄. Τὴν θείαν ταύτην.*

Νοΐ σου μάκαρ Νικόλαε, ἐν πόλῳ συνευφραίνονται τάγματα, θείων δυνάμεων, ἡμεῖς σαρκὸς δὲ οἱ δέσμιοι, ἐν γῇ σῶμά σου ἔχοντες ἀγαλλόμεθα.

Ἁγίου Πνεύματος γέγονας, τερπνὸν κατοικητήριον Ἅγιε, ψυχῇ καὶ σώματι, καὶ μαρτυρεῖ τὸ λεγόμενον, τὰ ἐκ τοῦ σοῦ λειψάνου μύρα πηγάζοντα.

Ναῷ καινῷ κατατίθεται, τὸ σῶμά σου παμμάκαρ Νικόλαε, ὅν σοι ἀνήγειρε, πόλις

τῆς *Πάρου* λαμπρότατος, τὸ πλῆθος θεωροῦσα τῶν θαυμασίων σου.

*Θεοτοκίον.*

Ἐκπλήττει πάναγνε Δέσποινα, Ἀγγέλων καὶ ἀνθρώπων διάνοιαν, τὸ ξένον θαῦμά σου· Σῦ γὰρ τὸν κτίστην καὶ Κύριον, Ἀγγέλων καὶ ἀνθρώπων, ξένως ἐγέννησας.

*Κοντάκιον. Ἦχος γ΄. Ἡ Παρθένος σήμερον.*

Τὴν ἑώαν ηὔφρανας, ἐν τῇ ζωῇ σου παμμάκαρ, καὶ τὴν δύσιν ηὔγασας, τοῖς ἱεροῖς σου λειψάνοις, ἅπασαν, τὴν οἰκουμένην περιλαμβάνεις, θαύμασι, καὶ ταχυδρόμοις ἐπιστασίαις· διὰ τοῦτο συνελθόντες, σὲ εὐφημοῦμεν, Πάτερ Νικόλαε.

*Ὁ Οἶκος.*

Πολλοῖς καὶ ποικίλοις χαρίσμασιν ἐκόσμησέ σε ὁ Κύριος Ἱεράρχα παμμέγιστε, καὶ ἐν γῇ καὶ ἐν οὐρανῷ καὶ ἐν τῇ ζωῇ καὶ ἐν τῷ θανάτῳ, καὶ μετὰ θάνατον δι' ὀπτασίας φρικτῆς, ἀπὸ Λυκίας ἐπὶ τὴν Πάρον τὰ σὰ λείψανα μεταθέμενος, καὶ κρήνην μύρων αὐτὰ ἀναδείξας, θαύματά τε μυρία δι' αὐτῶν ἀπεργασάμενος, τοῖς σὲ προσκαλουμένοις ἐκ πίστεως· διὰ τοῦτο συνελθόντες, σὲ εὐφημοῦμεν, Πάτερ Νικόλαε.

*Συναξάριον.*

*Τῇ Κ΄ τοῦ αὐτοῦ Μηνός, ἡ ἀνάμνησις τῆς ἀνακομιδῆς καὶ μετακομιδῆς τοῦ λειψάνου τοῦ Ἁγίου Νικολάου ἐπισκόπου Μύρων τῆς Λυκίας τοῦ θαυματουργοῦ*

*Φάνας ὁ νεκρὸς σοῦ θεόφρον τὴν ἕω,*
*ἔφανεν αὖθις καὶ δύσιν τεραστίοις.*
*Νικόλεως ἐνάτῃ εἰσήλυθεν ἄστυ Πάροιο.*

*Ταῖς αὐτοῦ ἁγίαις πρεσβείαις, Χριστὲ ὁ Θεός, ἐλέησον καὶ σῶσον ἡμᾶς. Ἀμήν.*

*ᾨδὴ ζ’. Οὐκ ἐλάτρευσαν.*

Ὑποπίπτουσι λειψάνοις τοῖς τιμίοις σου Ὁσίων τάγματα, ἀρχιερεῖς ἱερεῖς, βασιλεῖς καὶ ἄρχοντες, λαοὶ καὶ πᾶσαι φυλαί, ἀσπαζόμενοι, μετὰ ζεούσης πίστεως, καὶ σὺν φόβῳ προσκυνοῦντες.

Ῥῦσαι πάσης ἐπηρείας τε καὶ θλίψεως Πάτερ Νικόλαε, τοὺς εὐφημοῦντας πιστῶς, τῶν θείων λειψάνων σου σεπτὴν ὑπάντησιν, καὶ ἐξάρπασον, πάσης ἐχθρῶν κακώσεως, ὁρατῶν καὶ ἀοράτων.

Ἐπεδήμησεν ἐν κόσμῳ ἡ μετάθεσις σεπτῶν λειψάνων σου, ὡς ἔαρ χαροποιόν, θαύμασιν ὡς ἄνθεσιν εὐωδιάζουσα, κτίσιν ἅπασαν, καὶ μύροις ἱλαρύνουσα, τοὺς πιστῶς αὐτὴν τιμῶντας.

*Θεοτοκίον.*

Σωματώσασα τὸν Λόγον τὸν ἀσώματον Κόρη Θεόνυμφε, τοὺς ἐνσωμάτους βροτούς, ἀσωμάτους ἔδειξας Ἀγγέλους ψάλλοντας· ὑπερύμνητε, ὁ τῶν Πατέρων Κύριος, καὶ Θεὸς εὐλογητὸς εἶ.

*ᾨδὴ η᾽. Παῖδας εὐαγεῖς.*

Ἵνα μετὰ πόθου ἐκτελῶμεν, ἁγίων λειψάνων σου τὴν ἔκφανσιν, πάνσοφε Νικόλαε, πάσης παραπτώσεως, καὶ ψυχικοῦ ἐκλύτρωσαι θανάτου Ἅγιε, κολάσεως, ἡμᾶς ἀπαλλάττων, ταῖς πρὸς τὸν Δεσπότην, θερμαῖς σου ἱκεσίαις.

Νέμοις τοῖς ἐν πίστει εὐφημοῦσι, σκήνους σεβασμίου σου μετάθεσιν, Ἅγιε Νικόλαε, χάριν τε καὶ ἔλεος, ἁμαρτιῶν συγχώρησιν, καὶ βίον ἄμεμπτον, δεήσεσι, ταῖς σαῖς Ἱεράρχα, καὶ μετὰ τὸ τέλος, τυχεῖν τῆς ἄνω δόξης.

Σῶον ἐκ τοῦ μνήματος προῆλθε, τὸ σῶμά σου τὸ πανάγιον Νικόλαε, ὅλον χαριέστατον, ὅλον ἱερώτατον, κροκοβαφὲς λαμπρότατον, μύροις διάβροχον, ἐκπέμπον, γλυκερὰν εὐωδίαν, καὶ καθάπερ ῥεῖθρα, τὰ θαύματα πηγάζον.

*Θεοτοκίον.*

Τοῖς πᾶσιν ἀνέκφαντος ὁ πέλων, ἐκ Σοῦ ἐπεφάνη παναμώμητε, τοῖς βροτοῖς δι᾽ ἄφατον, ἔλεος ὡς ἄνθρωπος, ἐν τῇ ἐκφάνσει δ᾽ ἔμεινε καὶ μετὰ ἔκφανσιν πάλιν, οἷα Θεὸς μένων, ἀνέκφαντος τοῖς οὖσιν.

*ᾨδὴ θ᾽. Ἅπας γηγενής.*

Ἔχει μὲν ἡ σή, ψυχὴ οἰκητήριον τὰ ὑπερκόσμια, πάνσοφε σκηνώματα· τὸ θεῖον δέ σου σῶμα Νικόλαε, περιφανῆ καὶ μέγιστον ναὸν ἐπλούτησεν, ὃν ἡ πόλις, Πάρος σοι ἀνήγειρεν, εἰς μικρὰν ἀμοιβὴν τῶν θαυμάτων σου.

Φῶς τὸ τριλαμπές, ἀμέσως θεώμενος Πάτερ Νικόλαε, ἔνθεος γενόμενος, ταῖς πηγαζούσαις ἐκεῖθεν λάμψεσι, τὸν νοῦν ἡμῶν καταύγασον τὸν ἐν τοῖς πάθεσι, σκοτισθέντα, καὶ μετόχους ποίησον, τῆς μερίδος τῆς σῆς ἱερώτατε.

Ὥσπερ βρεφικά, ψελλίσματα πρόσδεξαι τὸν ὕμνον Ἅγιε, ὃν προσενηνόχαμεν, τῇ μεταθέσει σεπτῶν λειψάνων σου, καὶ ἀμοιβὴν αἰτούμεθα τὰς ἱκεσίαις σου, ὑπὲρ πάντων, ὧνπερ ἐξημάρτομεν, ἐν τῷ βίῳ καὶ λόγοις καὶ πράξεσι.

*Θεοτοκίον.*

Ὕψος οὐρανοῦ, καὶ γῆς βάθος ἄπειρον, τίς ἑρμηνεύσειε; Κόρη ἀειπάρθενε, οὕτω τὸ ὕψος τοῦ μυστηρίου Σου, πῶς νοῦ σμικρὸν δυνήσεται καὶ περιπέζιος, ἑρμηνεῦσαι, βάθος τε τὸ ἄπειρον, τῆς ἀσπόρου λοχείας Σου πάναγνε.

*Ἐξαποστειλάριον. Γυναῖκες ἀκουτίσθητε.*

Ἡ πόλις Πάρου σήμερον, ἀγάλλεται κατέχουσα, τὸ λείψανόν σου τὸ θεῖον, Νικόλαε Ἱεράρχα· καὶ σὺν αὐτῇ δὲ ἅπασα, ἡ οἰκουμένη χαίρουσα, πανηγυρίζει ᾄσμασι, τὴν φωτοφόρον ἡμέραν, τῆς μεταθέσεως τούτου.

*Ἕτερον. Ὅμοιον.*

Τὸν μέγαν ἀρχιποίμενα, καὶ Ἱεράρχην ἅπαντες, τὸν πρόεδρον τῶν Μυρέων, Νικόλαον εὐφημοῦμεν· πολλοὺς γὰρ ἄνδρας ἔσωσεν, ἀδίκως θνῄσκειν

μέλλοντας, καὶ Βασιλεῖ ὀπτάνεται, σὺν Ἀβλαβίῳ κατ' ὄναρ, λύων τὴν ἄδικον ψῆφον.

*Καὶ τὸ τῆς Ἑορτῆς.*

*Αἶνοι. Ἦχος α΄. Τῶν οὐρανίων ταγμάτων.*

Τῶν φιλεόρτων τὰ πλήθη δεῦτε συνδράμωμεν, τῇ μνήμῃ τοῦ ἐνδόξου, καὶ σεπτοῦ Νικολάου· οὗτος γὰρ καὶ αὖθις πάντας ἡμᾶς, συνεκάλεσε σήμερον, πανηγυρίσαι λειψάνων αὐτοῦ σεπτῶν, τὴν πανίερον μετάθεσιν.

Ἐκ τῆς ἑώας ἀνίσχων ὁ λαμπρὸς ἥλιος, φωτίζει πᾶσαν κτίσιν, ἀλλὰ φθάσας τὴν δύσιν, κρύπτει τὰς ἀκτίνας σὺ δὲ Χριστοῦ, Ἱεράρχα Νικόλαε, καὶ τὴν ἑώαν ἐφώτισας ἔτι ζῶν, καὶ τὴν δύσιν τοῖς λειψάνοις σου.

Τὸ πανσεβάσμιον σῶμα ἰδοὺ προτίθεται, τοῦ θείου Νικολάου· δεῦτε ἅπαντες πίστει, προσπέσωμεν καὶ τοῦτο φόβῳ ὁμοῦ, καὶ χαρᾷ προσκυνήσωμεν, καταμυρίζοντες σώματα καὶ ψυχάς, τοῖς τῶν μύρων αὐτοῦ ῥεύμασι.

Τὸ Ἡσαΐου πληροῦται σήμερον λόγιον, καὶ γὰρ χωλοὶ πηδῶσιν, ὥσπερ ἔλαφοι Πάτερ, καὶ γλῶσσα μογγιλάλων ὡς ἀληθῶς, τρανὴ γίνεται σήμερον, καὶ πᾶσα νόσος σκεδάννυται ὡς καπνός, τῇ προσψαύσει τῶν λειψάνων σου.

*Δόξα. Ἦχος πλ. α'*

Σαλπίσωμεν ἐν σάλπιγγι ᾀσμάτων, σκιρτήσωμεν ἑόρτια, καὶ χορεύσωμεν ἀγαλλόμενοι, τῇ ἐτησίῳ

πανηγύρει τοῦ θεοφόρου Πατρός· Βασιλεῖς καὶ Ἄρχοντες συντρεχέτωσαν, καὶ τὸν δι' ὀνείρου φρικτῆς ἐπιστασίας, Βασιλέα πείθοντα, ἀναιτίους κρατουμένους τρεῖς, ἀπολῦσαι στρατηλάτας, ἀνυμνείτωσαν. Ποιμένες καὶ Διδάσκαλοι, τόν τοῦ καλοῦ Ποιμένος, ὁμόζηλον Ποιμένα, συνελθόντες εὐφημήσωμεν. οἱ ἐν νόσοις τὸν ἰατρόν, οἱ ἐν κινδύνοις τὸν ῥύστην, οἱ ἁμαρτωλοὶ τὸν προστάτην, οἱ πένητες τὸν θησαυρόν, οἱ ἐν θλίψεσι τὴν παραμυθίαν· τὸν συνοδίτην οἱ ὁδοιπόροι, οἱ ἐν θαλάσσῃ τὸν κυβερνήτην, οἱ πάντες τὸν πανταχοῦ θερμῶς προφθάνοντα, μέγιστον Ἱεράρχην, ἐγκωμιάζοντες οὕτως εἴπωμεν· Πανάγιε Νικόλαε, πρόφθασον, ἐξελοῦ ἡμᾶς τῆς ἐνεστώσης ἀνάγκης, καὶ σῶσον τὴν ποίμνην σου ταῖς ἱκεσίαις σου.

*Καὶ νῦν. Τῆς Ἑορτῆς.*

*Δοξολογία Μεγάλη καὶ Ἀπόλυσις.*

*Μεγαλυνάριον.*

Τὸν ἐν ἱεράρχαις θαυματουργόν, καὶ τὸν ἐν κινδύνοις ἀπροσμάχητον βοηθόν, τὸν θεῖον ποιμένα, καὶ λειτουργὸν Κυρίου,Νικόλαον τὸν μέγαν, πάντες τιμήσωμεν.